οὐχ ἁπλῶν μέν τοι τριγονὲς, ἀλλ' ὡς τὰ τῶν εἰδῶν ληκτικά τε, καὶ παραληκτικά. ἀνθρωπικὸν γοῦν, καὶ ἀνθρώπειον, καὶ ἀνθρωπῶδες, καὶ πήλινον, καὶ ἀνθηρόν· καὶ ὅλως κατὰ τὸν ἀποδοθέντα σχηματισμὸν τῶν εἰδῶν τοῦ Ὀνόματος. σκοπεῖν δὲ χρὴ, καὶ εἰδεκτικὸν τριγονείας τὸ εἶδος. οὐ γὰρ καθόλου τὰ εἰς ον οὐδέτερα, τριγονῆ. ζωΰφιον γοῦν, καὶ μειρακύλλιον, καὶ λεβήτιον, καὶ ὅλως τὰ ὑποκοριστικὰ, μονογονῆ. θεωρητέον δὲ καὶ τοὺς λοιποὺς τῶν παρωνύμων σχηματισμοὺς, κατὰ τὴν διαφορὰν τῶν εἰδῶν. οἷον· ἐπὶ μὲν τοῦ ὑποκοριστικοῦ, λίθαξ, ἀνθρωπίσκος, μητρᾶς. ἐπὶ δὲ τοῦ Πατρωνυμικοῦ, εἰς δης. Ἀτρείδης, Ἡλιάδης, Κρονίδης.

## Σχηματισμοὶ Ῥηματικῶν.

§. σνά. Τὰ δὲ Ῥηματικὰ, ὡς καθόλου εἰπεῖν, ἀπὸ τοῦ παθητικοῦ Παρακειμένου, ἤτοι πρώτου προσώπου, ἢ δευτέρου, ἢ τρίτου. τὰ μὲν οὖν εἰς μα τῶν Ῥηματικῶν, καὶ τὰ εἰς μος, ἀπὸ τοῦ πρώτου. πεποίημαι, ποίημα. λελόγισμαι, λογισμός. τὰ δὲ εἰς ις θηλυκὰ, ἀπὸ τοῦ δευτέρου. λέλυσαι, λύσις. τὰ δὲ εἰς της ἀρσενικὰ, καὶ ἔτι τὰ εἰς τος τριγονῆ, ἀπὸ τοῦ τρίτου· πεποίηται, ποιητής. ἤκουσαι, ἀκουστός. καὶ πρὸς τούτοις τὰ εἰς ήριον Προσηγορικὰ πέποται, ποτήριον. Τινὰ δὲ καὶ ἀπὸ ἐνεστώτων· οἷον, τύπτω, τύπος. λέγω, λόγος. κόπτω, κοπεύς. βοηθῶ, βοήθεια. ἔστι δὲ ἃ καὶ ἀπὸ τοῦ μέλλοντος. οἷον, ἐλπίζω, ἐλπίσω, ἐλπίς.